ὡς οὐκ ἀγαθοῖς ἀνδράσιν, οὐκ ἀσφαλές. φαίνον- A
ται δὲ καὶ καταδωροδοκούμενοι καὶ καταχα-
ριζόμενοι πολλὰ τῶν κοινῶν οἱ κεκοινωνηκότες
τῆς ἀρχῆς ταύτης. διόπερ βέλτιον αὐτοὺς μὴ
ἀνευθύνοις εἶναι· νῦν δ' εἰσί. δόξειε δ' ἂν ἡ
τῶν ἐφόρων ἀρχὴ πάσας εὐθύνειν τὰς ἀρχάς·
τοῦτο δὲ τῇ ἐφορείᾳ μέγα λίαν τὸ δῶρον, καὶ
τὸν τρόπον οὐ τοῦτον λέγομεν διδόναι δεῖν τὰς
εὐθύνας. ἔτι δὲ καὶ τὴν αἵρεσιν ἣν ποιοῦνται B
τῶν γερόντων, κατά τε τὴν κρίσιν ἐστὶ παιδα-
ριώδης, καὶ τὸ αὐτὸν αἰτεῖσθαι τὸν ἀξιωθησό-
μενον τῆς ἀρχῆς, οὐκ ὀρθῶς ἔχει. δεῖ γὰρ καὶ βου-
λόμενον καὶ μὴ βουλόμενον ἄρχειν τὸν ἄξιον
τῆς ἀρχῆς. νῦν δ', ὅπερ καὶ περὶ τὴν ἄλλην
πολιτείαν, ὁ νομοθέτης φαίνεται ποιῶν. φιλο-
τίμους γὰρ κατασκευάζων τοὺς πολίτας, τού-
τοις κέχρηται πρὸς τὴν αἵρεσιν τῶν γερόν-
των. οὐδεὶς γὰρ ἂν ἄρχειν αἰτήσαιτο, μὴ φι- C
λότιμος ὤν. καίτοι τῶν γ' ἀδικημάτων ἑκου-
σίων τὰ πλεῖστα συμβαίνει σχεδὸν διὰ φιλο-
τιμίαν καὶ διὰ φιλοχρηματίαν τοῖς ἀνθρώ-
ποις. περὶ δὲ βασιλείας, εἰ μὲν μὴ βέλτιόν ἐ-
στιν ὑπάρχειν ταῖς πόλεσιν, ἢ βέλτιον, ἄλλος
ἔστω λόγος. ἀλλὰ μὴν βέλτιόν γε μὴ καθά-
περ νῦν, ἀλλὰ κατὰ τὸν αὐτοῦ βίον ἕκαστον κρί-
νεσθαι τῶν βασιλέων. ὅτι δ' ὁ νομοθέτης οὐδ' D
αὐτὸς οἴεται δύνασθαι ποιεῖν καλοὺς κἀγα-
θούς, δῆλον. ἀπιστεῖ γοῦν ὡς οὐκ οὖσιν ἱκανῶς
ἀγαθοῖς ἀνδράσι· διόπερ ἐξέπεμπον συμ-
πρεσβευτὰς τοὺς ἐχθρούς, καὶ σωτηρίαν ἐνόμι-
ζον τῇ πόλει εἶναι τὸ στασιάζειν τοὺς βασιλεῖς.
οὐ καλῶς δ' οὐδὲ περὶ τὰ συσσίτια τὰ κα-
λούμενα φιδίτια, νενομοθέτηται τῷ καταστή-
σαντι πρῶτον. ἔδει γὰρ ἀπὸ κοινοῦ μᾶλλον εἶναι E
τὴν σύνοδον, καθάπερ ἐν Κρήτῃ· παρὰ δὲ
τοῖς Λάκωσιν ἕκαστον δεῖ φέρειν, καὶ σφόδρα
πενήτων ἐνίων ὄντων, καὶ τοῦτο τὸ ἀνάλωμα οὐ
δυναμένων δαπανᾶν· ὥστε συμβαίνειν τοὐν-
αντίον τῷ νομοθέτῃ τῆς προαιρέσεως. βούλε-
ται μὲν γὰρ δημοκρατικὸν εἶναι τὸ κατασκεύα-
σμα τῶν συσσιτίων, γίνεται δ' ἥκιστα δημο-
κρατικὸν οὕτω νενομοθετημένον. μετέχειν μὲν F
γὰρ οὐ ῥᾴδιον τοῖς λίαν πένησιν. ὅρος δὲ τῆς
πολιτείας οὗτός ἐστιν αὐτοῖς ὁ πάτριος, τὸν
μὴ δυνάμενον τοῦτο τὸ τέλος φέρειν, μὴ με-
τέχειν αὐτῆς. τῷ δὲ περὶ τοὺς ναυάρχους νόμῳ
καὶ ἕτεροί τινες ἐπιτετιμήκασιν, ὀρθῶς ἐπιτι-
μῶντες, στάσεως γὰρ γίνεται αἴτιος. ἐπὶ γὰρ τοῖς βασιλεῦσιν οὖσι στρατηγοῖς ἀϊδίοις ἡ ναυαρχία,

tanquam non bonis viris nequaquam tutum. Videntur autem hi, qui in hac potestate constituti sunt, largiendi gratificandíque permulta facultatem habere, quapropter melius erat eos rationi reddendæ subiectos esse: nunc autem non sunt. Videtur autem Ephororum magistratus omnes alios magistratus corrigere. in hoc autem nimium certè illis permissum: & non per hunc modum dicimus rationem reddere oportere. Insuper creatio ipsa senatorum, quam per suffragia faciunt, perleuis est, ac ipsum petere magistratum qui eligendus sit, non rectè se habet: oportet enim & volentem & non volẽtem ad magistratum assumere, si dignus sit eo magistratu. Nunc autem idem facere in hoc videtur legislator, quod in alia republica. ambitiosos enim faciens ciues, illis vtitur ad senatorum delectum. nemo enim magistratum petet, nisi honoris sit affectator. atque pleraque eorum quæ homines iniustè faciunt, per ambitionem & auaritiam committuntur. De regia verò potestate, vtrum melius sit eam in ciuitatibus existere necne, alia foret disputatio. attamen melius, non vt nunc quidem, sed pro vita cuiusque regis iudicare. Quòd autem ne ipse quidem legislator credit se facere bonos & honestos, manifestum est. diffidit enim quasi non sint ad sufficientiam, boni viri. Itaque legatos simul mittebant inimicos, ac saltem ciuitatis esse putabant, seditiones regum. Non bene etiam circa comessationes, quæ illi Phiditia nominant, constitutum est ab initio. Oportebat enim magis ex publico esse conuentum, quemadmodum in Creta. sed apud Lacedæmonios vnusquisque conferre habet: etsi sunt quidam longè pauperrimi, qui huiusmodi sumptum nequeant sufferre. ex quo fit, vt legumlatori contrà eueniat quàm ipse voluerit. Voluit enim ciuitatem popularem facere per comessationes. sed contrà accidit, cùm non sit facile pauperibus comessationum participes esse. more enim maiorum sic apud eos definitur, vt qui comessationum particeps esse nequeat, is ad reipublicæ gubernationem non admittatur. Legem verò quæ est circa præfectos classis, & alij quidam improbarunt: & rectè quidem improbantes. est enim seditionis causa. nam cùm reges sint belli duces, præfectura illa perpetua ferè alterũ est imperium.

καὶ ἀκούσιον ἄρχειν τὸν ἄξιον τῆς ἀρχῆς.